www.tezaurliturgic.ro

+

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΑΡΚΟΥ ΤΟΥ ΚΩΦΟΥ

**(οὗ ἡ μνήμη τῇ 2ᾳ Ἰανουαρίου)**

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει τοῦ Ἄθωνος

* ͵αϡϞϚʹ * 1996 *

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

www.tezaurliturgic.ro





**Τῇ β᾽ Ἰανουαρίου μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν**

**ΜΑΡΚΟΥ ΤΟΥ ΚΩΦΟΥ**

* * *

## ΕΙΣ ΤΟΝ ΕΣΠΕΡΙΝΟΝ

Ἱστῶμεν στίχ. στ᾽ καὶ ψάλλομεν τὰ γ᾽προεόρτια τοῦ Μηναίου καὶ εἶτα τὰ παρόντα τοῦ Ὁσίου.

Ἦχος α᾽. Τῶν οὐρανίων ταγμάτων.

Τῆς φυσικῆς ἀκοῆς σου, Πάτερ στερούμενος, διήνοιξας Κυρίῳ, τὰ ἐσώτατα ὦτα, δεξάμενος τὸν λόγον αὐτοῦ εὐθύς, καὶ σταυρὸν τῆς ἀσκήσεως, ἐν προθυμίᾳ βαστάσας, φωστὴρ κλεινός, Ἐκκλησίας ἀναδέδειξαι.

Τῶν κοσμικῶν καὶ ματαίων, Μᾶρκε οὐκ ἤκουσας, τὰς ψυχοφθόρους ῥήσεις, ὅθεν ὅλος ἐδόθης, εἰς τήρησιν θελήματος τοῦ Χριστοῦ, Ὃν καὶ μόνον ἠγάπησας, Ὧι καὶ ὡμοίωσαι πράξεσιν ἀγαθαῖς, τῶν πιστῶν φανεὶς διδάσκαλος.

Ἡ τοῦ Κυρίου παιδεία ἡ ἀκατάληπτος, διήνοιξε τὰ ὦτα, διανοίας σου Μᾶρκε, καὶ ἔπλησε ψυχήν σου ὡς ποταμός, θεωρίαις τοῦ



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Πνεύματος, ὧν τῆς γλυκύτητος δίδου μοῖραν ἡμῖν, τοῖς γεραίρουσι τὴν μνήμην σου.

Δόξα. Ἦχος πλ.β΄.

Τῆς κοσμικῆς ἀποστὰς ταραχῆς, Μᾶρκε θεόσοφε, τῆς ὁσιότητος τὴν τρίβον διεπέρασας θαυμαστῶς, τῶν ἐντολῶν τοῦ Κυρίου ἀσφαλιζόμενος τῇ χάριτι· διὸ γέγονας κῆπος κεκλεισμένος, κατευωδιάζων ταῖς ἀρεταῖς τοὺς προσιόντας σοι· ὅθεν τῆς σιωπῆς τῶν ἐσχάτων νῦν συμμετέχων, ἱκέτευε δεόμεθα τὸν Κύριον ὑπὲρ ἡμῶν, τῶν ἐκ πόθου τελούντων τὴν σεβάσμιον μνήμην σου.

Καὶ νῦν. Τὸ ὁμόηχον τοῦ Μηναίου, προεόρτιον.

Ἔρχεται πρὸς Ἰορδάνην Χριστός.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον τῆς ἡμέρας.

*Ἀναγνώσματα ὁσιακά.*

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ᾿ ἡμῶν πορεία σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾿ αὐτῷ συνησουσιν ἀλήθειαν· καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνης καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ρομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

### Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος

Θεῷ γενόμενος ἠγαπήθη καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ καὶ ρεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν ἐν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ψάλλομεν στιχηρὰ ἰδιόμελα

Ἦχος α΄.

Τὴν κώφωσιν ὡς χάρισμα Θεοῦ δεξάμενος, Μᾶρκε ὁσιώτατε, καὶ ἀνακράζων «τὸ ὄνομα Κυρίου εἴη εὐλογημένον», δέδεξαι παρ᾿ Αὐτοῦ τὸ δῶρον τῆς μυστικῆς ἀκοῆς· ὅθεν γευσάμενος ἐμπείρως τῶν μυστηρίων τοῦ οὐρανοῦ τὴν θεολογίαν, διδάσκαλος ἐγένου πολλοῖς εἰς σωτηρίαν. Νῦν δὲ τῆς ἀγγελικῆς ὑμνολογίας ἀπολαύων, πρέσβευε δεόμεθα ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τῆς περιεργείας τῶν παρόντων ἀποστάς, ἔνδον τὸν νοῦν ἔστρεψας Μᾶρκε πάτερ σοφῶς, ἔνθα ἐφεῦρες τὸν πολύτιμον Μαργαρίτην, δι᾿ εὐχῆς ἀρεμβάστου καὶ ἡσυχίας διηνεκοῦς· ὅθεν καὶ ἡμᾶς ταραττομένους ἐκ τῶν ποικίλων μεριμνῶν, τὸν νοῦν εἰρήνευε διὰ τῆς μνήμης τοῦ Θεοῦ, καὶ τῆς αἰσθήσεως τῆς παρουσίας Αὐτοῦ μακάριε.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἦχος γ'.

Τὸν λογισμόν σου βεβαιώσας ἐπὶ τὴν πέτραν τοῦ Χριστοῦ, οὐδαμῶς ἐπτοήθης ἐκ τῶν προσγενομένων σοι πειρασμῶν· ἀλλὰ εὐχητικῶς πορευόμενος, τεῖχος χαλκοῦν ἐφάνης τοῖς τεχνάσμασι τοῦ ἀντιδίκου, οὗ τὰς προσβολὰς ὡς ψυχοφθόρους οὐκ ἤκουσας, πιστὸς φανεὶς τῷ Δεσπότῃ σου Μᾶρκε, Ὃν καθικέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Περιπεφραγμένος τὴν ψυχὴν ἐκ τῆς ἀνηκοΐας, μόνον τὸν Χριστὸν ἔσχες κυριεύοντα τῶν λογισμῶν καὶ τῶν πράξεών σου. Τούτῳ γὰρ διήνοιξας τὰ ἔσω σου ὦτα, ἀδιαλείπτως ἐνωτιζόμενος τὰ ζωοποιὰ αὐτοῦ προστάγματα· οἷς γέγονας διδάσκαλος μυστικός, τὴν Ἐκκλησίαν χαροποιῶν ταῖς ἀρεταῖς σου, Μᾶρκε ὁσιώτατε.

Δόξα. Ἦχος πλ.α'.

Οὐδὲν ἠμελημένον τῷ Θεῷ, οὐδὲν ἀπρονόητον, οὐδὲν μωμητόν, τοῖς προσέχουσιν ἐν σοφίᾳ. Διὸ καὶ σὺ πάτερ Μᾶρκε, ταῦτα ἔχων ἐν νῷ, οὐκ ἐγόγγυσας τῷ Κυρίῳ, τῆς ἀκοῆς σου στερηθείς, ἀλλ᾽ ἐν πνεύματι εὐχαριστίας, τὰς ἀρετὰς εἰργάσω ὡς γνήσιος υἱὸς καὶ πιστός. Καὶ πληρωθεὶς τῆς χάριτος, πολλοῖς ἐγένου διδάσκαλος, τοῦ μὴ ἀνοήτως θεοδικεῖν, ἀλλὰ τὰ πάντα ἐκ Θεοῦ παραδέχεσθαι, ὡς ἄριστα γινόμενα. Ὅθεν νῦν παριστάμενος μετὰ τῶν Ὁσίων, πρέσβευε ἀειμακάριστε, καὶ ὑπὲρ ἡμῶν τῶν πόθῳ τιμώντων σε.

Καὶ νῦν. Προεόρτιον. Ἦχος ὁ αὐτός.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἐν Ἰορδάνῃ ποταμῷ, Χριστὸς ὁ Θεὸς ἡμῶν, μολεῖ πρὸς τὸ Βάπτισμα, καθᾶραι θέλων ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν, τῇ αὐτοῦ ἐπιφανείᾳ, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.

## ΕΙΣ ΤΟΝ ΣΤΙΧΟΝ

Στιχηρὰ προσόμοια. Ἦχος δ'. Ὡς γενναῖον ἐν μάρτυσι.

Τοῦ Κυρίου ὑπήκουσας, δεῦτε λέγοντος ὄπισθεν, ὅσοι ἐκ προθέσεως τοῦτο θέλουσιν, ἀκολουθήσατε ἔδραμες, ποθῶν τὰ οὐράνια, πάτερ Μᾶρκε ἐκ ψυχῆς, καὶ ἀσκήσει διέλαμψας, ὥσπερ ἄσαρκος, τῆς σαρκὸς μὴ φροντίζων παρὰ χρείαν, καὶ μηδόλως ὠφελούσης, μετὰ τὸν θάνατον ἄνθρωπον.

Στίχ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Εἰσακήκοας Ὅσιε, ὡς προφήτης τῷ Πνεύματι, ἐν τῇ φυλακῇ σου ἀεὶ ἱστάμενος, καὶ κατενόησας τέλειον, Χριστοῦ τὴν σωτήριον, καὶ σῳσίκοσμον αὐτοῦ, πρὸς ἀνθρώπους κατάβασιν, ὅθεν ἔκθαμβος, τῆς ἀγάπης πιστούμενος τὸ βάθος, ᾔνεις Μᾶρκε καθ᾽ ἡμέραν, φιλανθρωπίας τὸ πέλαγος.

Στίχ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Καὶ παράλυτοι ἔξαλλοι, ἐν Χριστῷ Μᾶρκε φαίνονται, καὶ κωφοὶ ἀκούουσιν ὢ τοῦ θαύματος! ὅτι καινὸς νόμος τέθειται, Αὐτοῦ ἐνδημήσαντος, πρὸς ἡμᾶς τοὺς ταπεινούς, καὶ οἱ ὅροι μεθίστανται, οἱ

τῆς φύσεως, ὥστε γίνονται μείζονες τῶν πρώτων, οἱ ὡς ἔσχατοι δοκοῦντες, τῇ ἐνεργείᾳ τοῦ Πνεύματος.

Δόξα. Ἦχος β'.

Τῶν ψυχοβόρων σειρήνων τὰς ᾠδὰς οὐκ εἰσήκουσας, καὶ ἀπαλλαγεὶς ὦ Μᾶρκε πειρασμῶν ἀλυσιτελῶν, εὐπλόως διῆλθες τὸν δίαυλον τῆς ἀσκήσεως· ἐνωτιζόμενος δὲ τὰ ὑπὲρ μέλι γλυκύτερα λόγια τοῦ Θεοῦ, ἐθησαύρισας σεαυτῷ πλοῦτον οὐράνιον, ἐξ οὗ μετάδος καὶ ἡμῖν, ὡς φιλόστοργος πατήρ, τοῖς ἐκτελοῦσιν Ὅσιε τὴν μνήμην σου.

Καὶ νῦν. Προεόρτιον, ἦχος ὁ αὐτός.

Πάλιν Ἰησοῦς ὁ ἐμὸς καθαίρεται ἐν τῷ Ἰορδάνῃ, μᾶλλον δὲ καθαίρει τὰς ἁμαρτίας ἡμῶν. Ἔρχεται γὰρ ὡς ἀληθῶς ἐπὶ τὸ Βάπτισμα, ἐκπλῦναι θέλων τοῦ Ἀδὰμ τὸ χειρόγραφον, καὶ φησὶ πρὸς τὸν Ἰωάννην· δεῦρο ὑπηρέτησον ὦ Βαπτιστά, μυστηρίου ξένου τὸ κεφάλαιον. Δεῦρο ἔκτεινον τὴν σὴν χεῖρα ταχύ, καὶ ἅψαι κορυφῆς τοῦ συντρίψαντος τὴν κάραν τοῦ δράκοντος, καὶ ἀνοίξαντος τὸν παράδεισον, ὃν ἔκλεισεν ἡ παράβασις, ἀπάτῃ τοῦ ὄφεως, τῇ γεύσει τοῦ ξύλου ποτέ.

*Νῦν ἀπολύεις. Τρισάγιον κλπ. Ὅτι σοῦ ἐστίν.*

Ἀπολυτίκιον.

Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Τὰ ὦτα διήνοιξας τῆς σῆς ψυχῆς τῷ Χριστῷ, καὶ ἔδραμες ὄπισθεν Αὐτοῦ ὡς ἄλλος ἀμνός, εὐήκοος ὅσιε· ὅθεν καλλικαρπήσας, ἐν ἀσκήσει

ἐνθέῳ, εἴληφας τὸ βραβεῖον, βιοτῆς σου ὦ Μᾶρκε. Διὸ πάτερ πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*καὶ τὸ προεόρτιον.*

Ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ, Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδάμ, σὺν τῇ Προμήτορι, μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινῖσαι.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α' στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Ἐδέξω μυστικῶς, ἐντολὰς τοῦ Δεσπότου, καὶ ἔγραψας αὐτάς, ἐν πλαξὶ τῆς ψυχῆς σου, γενόμενος ὅσιε, θεολόγος ἐκ πράξεως· ὅθεν δίδαξον, ἡμᾶς πῶς δεῖ θλίψεις βίου, καὶ δυσάρεστα, ἐν εὐχαρίστῳ καρδίᾳ, ἀεὶ ὑποδέχεσθαι.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Φορέσας τὴν ἐμήν, Ἰησοῦ μου πτωχείαν, προέρχῃ σεαυτόν, τοῖς οἰκέταις μιγνύων, καὶ Βάπτισμα αἰτούμενος, ὑπὸ δούλου Φιλάνθρωπε, ὅθεν βλέπων σε, ὁ Ἰωάννης ἐβόα· πῶς βαπτίσω σε, ῥύπον μὴ ἔχοντα ὅλως, Θεὲ ὑπεράγαθε;

Μετὰ τὴν β'στιχολογίαν. Κάθισμα. Ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἡσύχως ἐβίωσας ἐν τῇ ἀσκήσει σοφέ, δεχθεὶς ὥσπερ χάρισμα τῆς φυσικῆς ἀκοῆς, τὴν ἔλλειψιν ὅσιε, ὅθεν ὡς σώφρων πάτερ, τὴν εὐχὴν ἐξασκήσας, δέδεξαι ἐκ Κυρίου, μυστικὰς ἀναβάσεις, ὧν Μᾶρκε καταξίωσον, τοὺς σὲ γεραίροντας.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Πτωχεύσας ὁ πλούσιος δι᾿ εὐσπλαγχνίαν πολλήν, ἡμᾶς τοὺς πτωχεύσαντας δι᾿ ἀκρασίαν ποτέ, πλουτίσαι βουλόμενος, ἔρχεται ἐπιβῆναι, Ἰορδάνου τοῖς ῥείθροις, καὶ ὑπὸ Ἰωάννου, προφανῶς βαπτισθῆναι. Ὑμνήσωμεν πιστοί, τὴν αὐτοῦ ἄκραν ταπείνωσιν.

Μετὰ τὸν Πολυέλεον. Κάθισμα. Ἦχος πλ.α'. Τὸν συνάναρχον Λόγον.

Τῶν ἀγγέλων τὸν βίον ἐπιποθήσας σφοδρῶς, τῷ Δεσπότῃ προσῆξας ψυχῆς ᾠδὰς μυστικάς, Μᾶρκε ὅσιε κωφὲ ἐρήμου καύχημα, διὸ συνὼν ἐν οὐρανοῖς, πάντων Ἁγίων κοινωνός, ἱκέτευε ὑπὲρ ὅσοι, τὴν μνήμην σου ἐκτελοῦσι, καὶ πολιτείαν σου θαυμάζουσι.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Ὁ συνάναρχος Λόγος Πατρὶ καὶ Πνεύματι, μορφωθεὶς διὰ σπλάγχνα νῦν τὸ ἀλλότριον, βαπτισθῆναι δι᾿ ἡμᾶς, ἤδη ἐπείγεται· ὑπαντήσωμεν αὐτῷ, διανοίᾳ καθαρᾷ, Εὐλογητός εἶ βοῶντες, Χριστὲ Σωτὴρ εὐεργέτα, ὁ ἁγιάσαι ἡμᾶς ἐρχόμενος.

Οἱ Ἀναβαθμοί. Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου· Ἐκ νεότητός μου.

Προκείμενον. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

Στίχος. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχέ μοι.*

Εὐαγγέλιον, ὁσιακόν. Βλ.εἰς τὸν ὄρθρον τοῦ ὁσ. Σάββα.
Ὁ Ν' ψαλμός, Ἐλέησόν με ὁ Θεός.
Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου.
Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.
Στίχ. *Ἐλεῆμον, ἐλέησόν με ὁ Θεός...*

Στιχηρὸν ἰδιόμελον. Ἦχος πλ. β'.

Τῷ εἰσακούοντι Χριστῷ καὶ αὐτὰ τὰ κρυπτὰ τῆς διανοίας, δουλεύσας πάτερ Μᾶρκε πιστῶς, ἐπήκουσας χαίρων, τὸ «εὖ σοι δοῦλε ἀγαθέ». Ὅθεν μνημόνευε καὶ ἡμῶν θεῖε ἀσκητά, καὶ τῶν ψυχῶν τὰ ὦτα διάνοιξον, πρεσβείαις εὐπροσδέκτοις σου.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου κλπ.

**Εἶτα οἱ κανόνες κατὰ τὴν τάξιν. Ὁ Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς:**

*«Μᾶρκε κωφέ, ἄκουέ με μέλποντα σὸν βίον. Ἀ(θανάσιος)».*

Ὠιδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Μακάριε ἄνθρωπε, Μᾶρκε κωφὲ ὦτα ἄνοιξον, καρδίας καὶ χείλη μου, ἔμπλησον χάριτος, ὅπως βίον σου, αἰνέσω κατ᾽ ἀξίαν, καὶ μέλψω ἀγῶνάς σου καὶ κατορθώματα.

Ἀρχὴν σῆς ἀσκήσεως, ἀποταγὴν ποιησάμενος, ἡσύχως ἐβίωσας, ἐπιποθῶν τὸν Χριστόν, καὶ τὰ ὦτα σου, καρδίας διανοίξας, ἐδέξω προστάγματα, ψυχοσωτήρια.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ῥυσθεὶς βρόχων Ὅσιε, τῶν κοσμικῶν σῶος ἔφθασας, εἰς τόπον ἀσκήσεως, βύων νοήματα, τῆς καρδίας σου, ἐχθροῦ εἰς ἀναβάσεις, Θεῷ προσηλούμενος, διὰ τῆς νήψεως.

Θεοτοκίον

Κυρία μου Δέσποινα, ἡ τὸν Σωτῆρα κυήσασα, κωφῶν διανοίξαντα, ὦτα προστάγματι, τούτῳ πρέσβευε, κωφόν με ἀναδεῖξαι, πρὸς κόσμου ἀκούσματα, ψυχὴν τὰ βλάπτοντα.

Ὠιδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ἐνέκρωσας Μᾶρκε πάθη πάντα, δοθεὶς τῷ Χριστῷ ὅλῃ ψυχῇ, καὶ ὡς τῆς ἀναστάσεως, υἱὸς βιοὺς μεμύησαι, τὰ βάθη θείου Πνεύματος, καὶ μυστηρίων ἀπόῤῥητα.

Κωφεύων δελέατι τοῦ πλάνου, ἐτήρησας Μᾶρκε σὴν ψυχήν, παρθένον ἀδιάφθορον, ἥν περ ἁγνὴν παρέστησας, Νυμφίῳ τῷ ἀφθάρτῳ σου, καὶ ἀρεταῖς κατεποίκιλας.

Ὠτίων σου ἥψατο Δεσπότης, ἐν τρόπῳ ὦ Μᾶρκε μυστικῷ, διδάξας σοι τὰ πρέποντα, τῇ ὑπηχήσει Πνεύματος, Οὗ εἶτα σάλπιγξ γέγονας, τὴν Χάριν ἐκδιηγούμενος.

Θεοτοκίον

Φυσίζωε Κόρη ζώωσόν με, πρεσβείᾳ σου τῇ ζωοποιῷ, πρὸς τὴν Ζωὴν Ὃν ἔτεκες, ὅτι ταῖς ἁμαρτίαις μου, θνήσκω καὶ μὴ βουλόμενος, τῇ συνηθείᾳ ἑλκόμενος.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

ἀναγινώσκομεν τὰ προεόρτια

Κοντάκιον.Ἦχος δ΄. Ἐπεφάνης σήμερον.
Ἐν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ· Μὴ δειλιάσῃς βαπτίσαι με· σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

**Ὁ Οἶκος.**

Οὐκ ἀπαιτῶ σε, Βαπτιστά, τοὺς ὅρους ὑπερβῆναι· οὐ λέγω σοι· Εἰπέ μοι ἃ λέγεις τοῖς ἀνόμοις, καὶ παραινεῖς ἁμαρτωλοῖς· μόνον βάπτισόν με σιωπῶν, καὶ προσδοκῶν τὰ ὑπὸ τοῦ Βαπτίσματος· ἕξεις γὰρ διὰ τοῦτο ἀξίωμα, ὅπερ οὐχ ὑπῆρξε τοῖς Ἀγγέλοις· καὶ γὰρ πάντων τῶν Προφητῶν μείζονά σε ποιήσω· ἐκείνων μὲν οὐδεὶς σαφῶς με κατεῖδεν, ἀλλ' ἐν τύποις καὶ ἐν σκιαῖς καὶ ἐνυπνίοις· σὺ δέ, ἐπὶ σοῦ ἱστάμενον κατὰ γνώμην. Σῶσαι γὰρ ἥκω, Ἀδὰμ τὸν πρωτόπλαστον.

εἶτα, Κάθισμα. Ἦχος γ'. Τὴν ὡραιότητα.

Τὴν καθαρότητα, τῆς διανοίας σου, βλέπων ὁ Κύριος, Μᾶρκε σοὶ δέδωκεν, εὐχὴν νηστείαν φυλακήν, αἰσθήσεων καὶ εἰρήνην· ὅθεν πεφανέρωσαι, ἐξ ὧν πείρᾳ μεμάθηκας, ὁδηγὸς ἀλάθητος, πρὸς ζωὴν τὴν αἰώνιον, ἐν ᾗ ἐπαπολαύων Δεσπότου, μνήσθητι πάτερ τῶν τιμώντων σε.

Δόξα. Καὶ νῦν. Προεόρτιον, ὅμοιον.

Ὁ ἀπερίγραπτος, ὢν τῇ θεότητι, περιγραφόμενος, ὕλῃ τοῦ σώματος, μέλλει προέρχεσθαι ῥοαῖς, Ἰορδάνου τοῦ βαπτισθῆναι.

Τοῦτον καθαρότητι, διανοίας δεξώμεθα, πάντων γὰρ ἐργάσασθαι, τὴν ἀνάπλασιν βούλεται. Πρὸς Ὃν νῦν ἐκβοήσωμεν φόβῳ· Δόξα Χριστέ, τῇ ἐπιφανείᾳ σου.

Ὠιδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἔστης ὡς πεφυτευμένον, ξύλον ἐν τοῖς ὕδασιν Ὅσιε, ἀπὸ τῶν ῥευμάτων, λόγου τοῦ Κυρίου τρεφόμενον, ὅθεν ἀπέδως καρπόν σου πολυπλάσιον, τῆς ἀσκήσεως, ἐν τῷ καιρῷ ἐκδημίας σου.

Ἅπερ εἶχες ἐν καρδίᾳ, τῷ Δεσπότῃ ἐγνώριζες, διὰ τῆς συντόνου, Μᾶρκε εὐκτικῆς ἐργασίας σου, ὅθεν ἐδέχου τὴν χάριν ἐν τοῖς ἔργοις σου, θησαυρίζων, πλουτισμὸν σωτηρίας αἰώνιον.

Κύριος μερὶς ὑπάρχων, σῆς ζωῆς ὑπερτίμητος, θείαις σε ἐννοίαις, ἔθρεψε καὶ ηὔξησεν Ὅσιε, διὸ ἐγένου ὡς ναῦς τις πολυφόρητος, Ἐκκλησίαν, ἀρεταῖς σου σιτίζων ὡς ἄριστα.

Θεοτοκίον

Ὀλισθαίνων καθ᾽ ἑκάστην, ἐξ ἀδυναμίας μου Ἄχραντε, σὲ καθικετεύω, στήριξον ἁρμοὺς τῆς καρδίας μου, ὥστε βαδίζειν εὐθέως ἐν τοῖς τρίβοις μου, καὶ μὴ γένωμαι, τοῦ φιλτάτου Υἱοῦ σου ἀλλότριος.

Ὠιδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὑψαύχενον ἄρχοντα, τῆς ἀνομίας Ὅσιε, τῇ ὑπακοῇ Μᾶρκε καθεῖλες, καὶ ταπεινώσας, σαὐτὸν κατείληφας, ὕψη τὰ τῶν θείων δωρεῶν, τὸν Χριστὸν μιμούμενος, ἐνδυθέντα ταπείνωσιν.

Ἐνέκρωσας ἅπαντα, τὰ ἐμπαθῆ νοήματα, τῶν αἰσθήσεων σου πάτερ Μᾶρκε, ζωῶν ψυχήν σου, ἀσκητικαῖς ἀγωγαῖς, καὶ τῇ συσταυρώσει τῷ Χριστῷ, εἴληφας τὸ σφράγισμα, ἀναστάσεως Ὅσιε.

Μακρύνων ἐμάκρυνας, τῶν αἰτιῶν τῆς πτώσεως, ἄφθορον τηρῶν μονογενῆ σου, ταύτην γλυκαίνων, τῇ μνήμῃ τοῦ Ἰησοῦ, Οὗ οὐδὲν γλυκύτερόν ἐστι, ἥδυσμα μακάριε, ἐν τῷ νῦν καὶ τῷ μέλλοντι.

Θεοτοκίον

Ἐλέησον Δέσποινα, τῷ μητρικῷ ἐλέει σου, τὴν κατασυντετριμμένην, καὶ ἡλκωμένην, ψυχήν μου πάθεσι, ἡ τὸν ἐλεήμονα Χριστόν, ἐν γαστρὶ βαστάσασα, ἰατρεύοντα πταίσματα.

Ὠιδὴ Ϛʹ. Τὴν θείαν ταύτην.

Μεγίστην εὗρες ἀνάπαυσιν, τὴν πᾶσάν σου ζωὴν Μᾶρκε ὅσιε, ἀνατιθέμενος, τῷ προνοοῦντι τῆς κτίσεως, καὶ νόμοις φιλανθρώποις, ταύτην θριγκώσαντι.

Ἐκτείνων χεῖρας ἱκέτιδας, τὴν Χάριν κατεβίβαζες Ὅσιε, τοῖς αἰτουμένους σου, εὐχὴν λαβεῖν τὴν δραστήριον, καὶ ἄνεσιν ἐκ πάσης βλάβης καὶ θλίψεως.

Λεόντιον ἔσχες φρόνημα, κατὰ τοῦ ἀντιπάλου μακάριε, φρυαττομένου σοι, καὶ οἰομένου τοῖς βέλεσιν, τὸν τόνον τῆς ψυχῆς σου ποιῆσαι ἄχρηστον.

Θεοτοκίον

Πενήτων πέλεις προμήθεια, τροφέα πάντων τέξασα Δέσποινα, ὅθεν πεινῶντά με, πνευματικῶς ταχὺ ἔκθρεψον, τῷ Σώματι Υἱοῦ σου, καὶ θείῳ Αἵματι.

Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὦτα μὴ ἔχων φυσικὰ ὑπερῇρας,
τοὺς ταῦτα ἔχοντας κωφὲ πάτερ Μᾶρκε,
ὡς τοῦ Κυρίου λόγους εἰσδεξάμενος,
ἐν τῇ διανοίᾳ σου, καὶ ἐργάτης ἐγένου, θεϊκῆς ἀσκήσεως,
καὶ ζωῆς ὑπὲρ φύσιν, ὅθεν τιμῶντες βίον σου σεπτόν,
αἰτούμεθά σου, πρεσβείαν πρὸς Κύριον.

**Ὁ Οἶκος**

῎Εφφαθά" σοι ὡς εἶπε Φιλάνθρωπος, τὰ ἀνήκοα ὦτα ἠνοίγησαν
κεκλεισμένα ἐκ φύσεως Ὅσιε καὶ γεγόνασι πλέον ἤ πρότερον
ἐπιτήδεια πρὸς εὐηκοΐαν·
ὅπου γὰρ θέλει Θεός, ἡ φύσις ἀνέστραπται,
ἐνεργοῦντος τοῦ νόμου τῆς Χάριτος·
ὅθεν ὡς ὁ ᾿Αββακοὺμ δέδεξαι μυστηρίων βαθέων ἀποκάλυψιν
καὶ κωφὸς  τὸ φαινόμενον διαμένων ἐσάλπισας εὐηχέστερον τῶν
ἀκουόντων,
ὅτι δίκαιαι αἱ κρίσεις Κυρίου καὶ ἀγαθαὶ αἱ ἐπίνοιαι Αὐτοῦ.
Διὸ διαλάμψας ἐν ὑπομονητικῇ εὐχαριστίᾳ, καὶ ἀσκήσει συντονωτάτῃ,
κατοικεῖς ἐν οἴκῳ αἰωνίως μελωδούντων, Μᾶρκε ὁσιώτατε,
ἡμεῖς δὲ ταπεινῶς αἰτούμεθά σου,
πρεσβείαν πρὸς Κύριον.

*Τὸ Συναξάριον*

**Τῇ β' τοῦ μηνὸς Ἰανουαρίου, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Μάρκου τοῦ Κωφοῦ.**

*Στίχοι.*

*Ὁ Μᾶρκος οὐκ ἤκουσε γηΐνων λόγων*
*Καὶ πρὶν λιπεῖν γῆν, ὦτα γῆθεν ἐξάγων.*
*Δευτερίῃ Μᾶρκος χθόν᾽ ἔλιπεν τὴν πολύβοον.*

καὶ τὸ παρὸν ὑπόμνημα

*Πότε ἤκμασεν ὁ ὅσιος οὗτος πατὴρ ἡμῶν Μᾶρκος, τίς ἡ πατρίς, τίνες οἱ γεννήτορες καὶ τίς ἡ θεοφιλὴς αὐτοῦ πολιτεία, οὐκ ἠδυνήθημεν παρά τινος μαθεῖν. Τοῦτο μόνον γινώσκομεν, ὅτι στερούμενος τῆς φυσικῆς ἀκοῆς, ἐδόθη ὁ μακάριος πάσῃ δυνάμει εἰς τὸ ἀποκτήσασθαι, κατὰ τὸν προφήτην, ὦτα Κυρίου, πρὸς τὸ ἀκούειν καὶ ποιεῖν ἐπιμελῶς καὶ ἀόκνως τὸ δεσποτικὸν καὶ σωτηριῶδες θέλημα· ὅθεν διὰ σκληρᾶς ἀσκήσεως ἐγένετο περιώνυμος καὶ πλουτήσας πολλὰς ἀρετὰς καὶ φῶς Χριστοῦ γενόμενος διὰ τῆς θεοειδοῦς αὐτοῦ πολιτείας, ἐκλήθη παρὰ τοῦ μισθαποδότου Δεσπότου εἰς τὴν αἰώνιον Βασιλείαν, ἐν ᾗ ἀκούει ἀνεμποδίστως τὸ οὐράνιον ἀγγελικὸν μέλος μετὰ πάντων τῶν Ἁγίων εὐφραινόμενος.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σιλβέστρου Πάπα Ῥώμης.**

*Στίχοι.*

*Ζωοῖ νεκρὸν βοῦν, αἰσχύνων Ζαμβρῆν μάγον,*
*Ὁ καὶ νεκρὸς ζῶν, Σίλβεστρος Ῥώμης Πάπας.*
*Θυμὸν ἀποπνείει Σίλβεστρος δευτέρῃ ἠοῖ.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Θεαγένους τοῦ ἐν Παρίῳ.**

*Στίχοι.*

*Θεάγενες, βλήθητι τοῦ πόντου μέσον,*
*Ὢι κἂν βυθισθῇς, ἔνδον ἐκνήξῃ πόλου.*

**Τῇ αὐτῇ ἡμέρᾳ, ὁ ἅγιος Θεόπεμπτος ἐν εἰρήνῃ τελειοῦται.**

*Στίχοι.*

*Τὸν Θεόπεμπτον σαρκικῆς λῦσαι πέδης,*
*Ἦλθον, Θεοῦ πέμψαντος, ἔμπυροι Νόες.*

**Ἡ ἁγία Θεοδότη, ἡ μήτηρ τῶν Ἁγίων Ἀναργύρων, ἐν εἰρήνῃ τελειοῦται.**

*Στίχοι.*

*Νόσῳ παρῆλθε τὸν βίον Θεοδότη,*
*Νόσων λυτῆρας ἡ τεκοῦσα τῷ βίῳ.*

**Μνήμη τοῦ ἁγίου μάρτυρος Βασιλείου τοῦ ἐξ Ἀγκύρας.**

*Στίχοι.*

*Βρύχημα, χάσμα, δῆγμα θηρῶν ἀγρίων.*
*Βασιλείου τὸ πρᾶον οὐ κατεπτόει.*

**Ὁ ἅγιος μάρτυς Σέργιος ξίφει τελειοῦται.**

*Στίχοι.*

*Οὐχ οἷον εἰπεῖν, οὐδὲ γνῶσιν φέρειν,*
*Ὅση χαρᾷ Σέργιος ἐτμήθη κάραν.*

**Ὁ ἅγιος Θεόπιστος, λιθοβοληθεὶς τελειοῦται.**

*Στίχοι.*

*Κτείνει σε, Θεόπιστε πιστέ, τοῖς λίθοις,*
*Ἡ τῶν ἀπίστων πληθὺς ἐκ δυσβουλίας.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

**Μνήμη τοῦ ὁσίου πατρὸς ἡμῶν Κοσμᾶ, Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ θαυματουργοῦ, τοῦ ἐν τῇ σεβασμίᾳ Μονῇ τῆς Χώρας ταφέντος.**

*Στίχοι.*

*Διπλῆν ἔχων ἄνωθεν, Κοσμᾶ, τὴν χάριν,*
*Κόσμος μέγας πέφηνας ὑψηλοῦ θρόνου.*

**Μνήμη τοῦ ἁγίου νεομάρτυρος Γεωργίου ἢ Ζώρζη τοῦ Γεωργιανοῦ, ἐν Μυτιλήνῃ δι᾽ ἀγχόνης τελειωθέντος ἐν ἔτει 1770.**

*Στίχοι.*

*Σὴν χεῖρα θλίβε ἀγχόνῃ, μάρτυς Ζώρζη,*
*Θλίψεις γὰρ οὕτω δυσμενῆ θλίψαντά σε.*

**Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Σεραφεὶμ τοῦ Σαρώφ.**

*Στίχοι.*

*Ζέων Σεραφεὶμ ἀγάπῃ τοῦ Κυρίου,*
*Ἄλλο Σεραφεὶμ ἐν σώματι ὑπῆρξεν.*
*Χριστῷ ἐκ νεότητος ἀκολουθήσας,*
*Πολλῶν πέπλησαι, ὦ Σεραφείμ, χαρίτων.*

**Μνήμη τοῦ ὁσίου Σιλβέστρου τῶν Σπηλαίων τοῦ Κιέβου.**

*Στίχοι.*

*Ἄργυρος λαμπρός Σίλβεστρος ἐν Κιέβῳ,*
*Ὤφθη φιλοθέως ἐκεῖ ἐξασκήσας.*

**Μνήμη τῆς ὁσίας Ἰουλιανῆς τοῦ Λαζαρέφσκογε.**

*Στίχοι.*

*Ἰουλιανὴ οἶκος θείου ἐλέους,*
*Παρὰ Κυρίῳ Ἐλεήμονι ἔστη.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

*Ταῖς τῶν σῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.*

Ὠιδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Οὐκ ἐνάρκησας, ἐν τῇ ἀσκήσει Ὅσιε, οὐδὲ ἐνύσταξας, ἀπὸ τῆς σῆς φυλακῆς, διὸ κεχαρίτωσαι, ποικίλαις χάρισι, παρὰ τοῦ Παντοκράτορος, καὶ ἐφορῶντος καλῶς, τοὺς ἀγάπῃ, πρὸς Αὐτὸν τὰ σκάνδαλα, καὶ δεινὰ τῶν ἐχθρῶν ὑπομένοντας.

Νοῦν ἀκράτητον, τῇ προσευχῇ ἐδέσμευσας, καὶ καθυπέταξας, ἐν θεϊκοῖς λογισμοῖς, διό σοι ἀνέβλυσαν, ὕδατα Χάριτος, δι᾽ ὧν ὦ Μᾶρκε ὅσιε, πολλοὺς ἐπότισας, καὶ τὴν δῖψαν ἀπὸ τῶν ψυχῶν αὐτῶν, διδαχαῖς ταῖς σοφαῖς σου κατέπαυσας.

Τίς μοι ἔκραζες, παράδεισος ἢ Κύριος, καὶ ξύλον γνώσεως, ἀφ' οὗ τρυφῶ δι᾽ εὐχῆς, γλυκύτατον Ὄνομα, Αὐτοῦ ἐγένετο· ὅθεν δεῦτε τρυφήσατε, ὅσοι οὐκ ἔσχετε, θείαν γεῦσιν, τῆς Αὐτοῦ χρηστότητος, ἵνα γνῶτε ἐκ πείρας τὸ ἔλεος.

Θεοτοκίον

Ἀκουσάτω μου, τὸν στεναγμὸν ἡ Δέσποινα, ἡ πολυεύσπλαγχνος, καὶ μὴ παρίδῃς οἰκτράν, τὴν δέησιν ταύτην μου τὴν πολυστένακτον, ἀλλὰ τὸ οὖς σου κλῖνόν μοι, ἵνα ἐξείπω σοι, τῆς ψυχῆς μου, πάντα ἁμαρτήματα, καὶ ἀνάπαυσιν εὕρω ὁ ἄθλιος.

Ὠιδὴ η'. Παῖδας εὐαγεῖς.


ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Στῦλος ἐν εὐχαῖς ὡράθης πάτερ, καὶ πύργος ἐν πειρασμοῖς ἀκλόνητος, ὅπλα ἐνδυσάμενος, ἅπερ Παῦλος εἴρηκεν, ὅθεν ἐδέξω ἄφθονον, Μᾶρκε τὴν ἔκχυσιν, τοῦ Πνεύματος, τοῦ θείου δι᾽ Οὗπερ, γέγονας ἀλείπτης, πολλῶν εἰς σωτηρίαν.

Οὐρανὸν ἐποίησας καρδίαν, καὶ νοῦν σου παράδεισον μακάριε, ἐν οἷς ἐνεθρόνισας, Ἰησοῦν τὸν πάγκαλλον, ἐφύτευσας δὲ σύνδενδρον, τῶν ἀρετῶν τὴν πληθύν, διὰ βίου, πλήρους καθαρότητος, ὃν παράσχοις τοῖς πόθῳ τιμῶσί σε.

Νύκτα τοῦ παρόντος βίου πάτερ, ἀπτώτως διῆλθες φωτιζόμενος, ἀγλαΐαις Πνεύματος, καὶ πολλοὺς ἐφώτισας, τοῖς θείοις σου διδάγμασι, φῶς ἐκ μεθέξεως, τοῦ πρωτίστου, γεγονὼς σὺ δεύτερον, ὅπερ αἴτει, ὑπὲρ τῶν τιμώντων σε.

### Θεοτοκίον

Βρόχος μοι τραχὺς ἡ ἁμαρτία, ἐγένετο Ἄχραντε συμπνίγων με, ὅθεν τὸν ταλαίπωρον, τοῦ θανάτου λύτρωσαι, χαριζομένη Πνεύματος, ἀέρα εὔζωον, ὅπως χαίρων, εὕρω τὴν ἀνάψυξιν, καὶ δοξάζω σε πάντοτε Πάναγνε.

### Ὠδὴ θ΄. Ἅπας γηγενής.

Ἴδε τὴν ἡμῶν, κωφότητα ὅσιε, ἐξ ἧς τὸ θέλημα, τοῦ Χριστοῦ οὐ θέλομεν, ἀκοῦσαι οὔτε καὶ διαπράξασθαι, καὶ σαῖς εὐχαῖς ἐκδίωξον, νάρκην δαιμόνιον, διανοίγων, ὦτα τὰ ἐσώτατα, ὑπηκόους ποιῶν ἡμᾶς τάχιστα.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ὅ,τι ὁ ἐχθρός, ὡς ὅπλῳ ἐχρήσατο, πάτερ ψυχώλεθρον, σὺ εὐτέχνως ὄργανον, τῆς σωτηρίας σοφῶς μετέβαλες, ἀκούων ἃ οὐκ ἤκουσεν, οὖς τὸ φαινόμενον, ἀλλὰ μόνον, τοῦ Θεοῦ ὁ ἄνθρωπος, μυστικῶς ἐνεργείᾳ τοῦ Πνεύματος.

Νοῦς ἀγγελικός, ὡράθης πανόσιε, Μᾶρκε τῷ βίῳ σου, νῆψιν ἔχων ἄπαυστον, εὐχαριστίαν καὶ δοξολόγησιν, Δεσπότου Ὧι νῦν ἵστασαι, σὺν τοῖς ἀγγέλων χοροῖς, καὶ ἀκούεις, ὕμνον ἀκατάληκτον, καὶ ὁρᾷς αὐτοψεὶ θεῖον Πρόσωπον.

Θεοτοκίο

Ἅπαντα κακῶς, τὰ τάλαντα Δέσποινα, ἅ περ μοι δέδωκεν, σὸς Υἱὸς ἐσκόρπισα, ἐκδαπανήσας ὡς δοῦλος ἄτιμος, διὸ ἀπαῤῥησίαστος, τυγχάνων δέομαι, χρῶ ὡς Μήτηρ, τῇ πολλῇ ἀγάπη σου, καὶ Θεόν μοι ἐκμείλιξον τάχιστα.

Ἐξαποστειλάριον.

Ἦχος β'. Γυναῖκες ἀκουτίσθητε.

Ἀκούσας τοῦ Κυρίου σου, τὴν κλῆσιν τὴν σωτήριον, ὀπίσω ἔδραμες Μᾶρκε, Αὐτοῦ ὡς ἄλλο ἀρνίον, ποθῶν ζωὴν ἀσκήσεως, ἐν ᾗ καὶ εὐηρέστησας, διὸ ἀκούεις νῦν χαίρων, τῶν ἀσωμάτων τοὺς ὕμνους.

Προεόρτιον, ὅμοιον.

Φωνὴ βοῶντος ἤχησε, καὶ οἱ βουνοὶ σκιρτήσατε, χόρευσον γένος ἀνθρώπων, ὁ γὰρ προάναρχος Λόγος, σάρκα λαβὼν ὡς ἄνθρωπος, ἥκει βαπτισθησόμενος, ὑπὸ χειρῶν ὧν ἔπλασεν, ἐν Ἰορδάνη καὶ λύσων, τοῦ κόσμου τὴν ἁμαρτίαν.

## ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ

Ψάλλομεν στιχηρὰ προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Μᾶρκε τοῦ Κυρίου ἀσκητά, ἔστησας τοὺς πόδας γενναίως ἐπὶ τὴν πέτραν σου, χάριτι ζωούμενος, τοῦ θείου Πνεύματος, πρὸ ὀμμάτων σου θέμενος, Χριστοῦ τὴν ἀγάπην, καὶ τὴν συγκατάβασιν, ὑπὲρ τοῦ γένους ἡμῶν· ὅθεν φιλοτίμως διῆλθες, τρίβον τῆς στενῆς βιοτῆς σου, δράγματα συλλέξας πολυτίμητα.

Ὤτων στερηθεὶς τῶν φυσικῶν, Μᾶρκε παμμακάριστε πάτερ, οὐκ ἐδειλίασας, οὐδὲ κατὰ Πλάστου σου ἤγειρας ἔνστασιν, ἀλλὰ χαίρων ἐχώρησας, εἰς τὴν ἔσω ὤτων, μυστικὴν ἀπόκτησιν, ἅπερ καὶ εἴληφας· ὅθεν καθ᾿ ἡμέραν καὶ ὥραν, ἔσχες ἀναβάσεις καρδίας, τοῦ Θεοῦ φωνὴν ἐνωτιζόμενος.

Χαῖρε τὴν χαρὰν τὴν μυστικήν, ἣν οὐδεὶς δυνήσεται Μᾶρκε, σοῦ ἀφαιρέσαι ποτέ, ὅσα γὰρ τῆς Χάριτος, ἀμετακίνητα, καὶ Θεὸν καθικέτευε, δοῦναι ἡμῖν πᾶσι, ὦτα πανευήκοα τῶν θελημάτων Αὐτοῦ, ἵνα ἐντολῶν τῇ τηρήσει, τὸν τῇ ἁμαρτίᾳ φθαρέντα, ἄνθρωπον ῥαδίως ἀποβάλωμεν.

Δέχου πολιτείας σου μισθόν, τὴν μετὰ ἁγίων ᾿Αγγέλων ὦ Μᾶρκε σύστασιν, σὺ γὰρ ὥσπερ ἄσαρκος, ἐν γῇ ἐβίωσας, σιωπῶν καὶ εὐχόμενος, ἐντεῦθεν ἐν γνώσει, μέλλοντος μυστήριον, ποθῶν βιῶσαι σοφέ, οὗπερ μετασχὼν νῦν μνησθείης, καὶ ἡμῶν τῶν σήμερον μνήμην, ἐν χαρᾷ τὴν σὴν ἀγόντων ὅσιε.

Δόξα. Ἦχος πλ.δ'.

Ὁ ἔχων ὦτα ἀκούειν ἀκουσάτω, ἀδελφοί, Μάρκου τοῦ κωφοῦ, τὰ θεῖα κατορθώματα. Οὗτος γὰρ μὴ ἀπαναινόμενος μικροψύχως, τὴν ἐπισυμβᾶσαν αὐτῷ κώφευσιν, οὐκ ἐπαύσατο βοῶν τῷ Δεσπότῃ· «εὐχαριστῶ σοι Κύριε φιλόψυχε, ὅτι ἐκ τῶν πειρασμῶν ἐξήγαγές με, φυλάξας με ἀπὸ τῶν ἀκουστικῶν συμπτωμάτων, καὶ τὴν διάνοιαν ἀναδείξας ἐργαστήριον, τῶν σωτηριωδῶν καὶ γλυκυτάτων ἐννοιῶν σου. Ὅθεν γῆθεν σήμερον δεχθείς με μετ᾽ ἀγγέλων, δὸς τὴν θείαν χάριν σου, τοῖς ἑορτάζουσι τὴν μνήμην μου».

Καὶ νῦν. Προεόρτιον ὁμόηχον.

Ἰωάννη Βαπτιστά, ὁ ἐν μήτρᾳ γνωρίσας με τὸν Ἀμνόν, ἐν ποταμῷ μοι διακόνησον, μετ᾽ Ἀγγέλων μοι λειτούργησον. Ἐκτείνας ἅψαι τῇ παλάμῃ, τῆς κορυφῆς μου τῆς ἀχράντου· καὶ ὅταν ἴδῃς τὰ ὄρη τρέμοντα, καὶ τὸν Ἰορδάνην ἐπαναστραφέντα, σὺν τούτοις βόησον· ὁ σαρκωθεὶς ἐκ Παρθένου, εἰς ἡμῶν σωτηρίαν, Κύριε, δόξα σοι.

Δοξολογία μεγάλη κλ.π., ὡς σύνηθες.

*Μεγαλυνάριον*

Χαίροις Μᾶρκε ὅσιε ἀσκητά, ὡς εὐαρεστήσας, κεκληκότι σε Ἰησοῦ, εὔχου δὲ δοθῆναι, τὰ ἔσω ὦτα πᾶσι, τοῖς πόθῳ εὐφημοῦσι, πάνσεπτον μνήμην σου.

Στίχοι

*Εὐχαῖς σου κώφευσον τὰ ὦτα ψυχῆς μου,*
*Ὥστε ἀκούειν, Μᾶρκε, μόνον Κυρίου.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ